συνεστραμμένων. οὕτω καὶ οὔλη θρὶξ, παρὰ τὸ εἴλειν, ἢ εἰλεῖν, τὸ συστρέφειν. Σ. οὖλος, ὁ συνεστραμμένας ἔχων τὰς τρίχας. Ὅμηρος περὶ Ὀδυσσέως,

Σμικρὸς ἔην, ὤμοις μελανόχροος, οὐλοκάρηνος.

καὶ οὖλον, μαλακὸν, ἁπαλὸν, συνεστραμμένον ταῖς θριξί.

Σχόλια. Παρὰ τοὺς ἰχθῦς ἀνέκυψε] παρὰ τὰ ἰχθυοπώλια. τὸ δὲ τοιοῦτον, Ἀττικόν. Εὔπολις. περιῆλθεν εἰς τὰ σκόροδα καὶ τὰ κρόμμυα. φησὶν οὖν, ὅτι ἀναφαίνεται περὶ τὰ ἰχθυοπωλεῖα ἀγορασείων. ἀντὶ τοῦ τρυφῶν εὑρίσκεται. Στωμυλίαν.] σκώμματα. κολακίαν. πανουργίαν. Τῶν μειρακίων στωμυλλομένων.] ἄπειροι οὗτοι ἐκκλησίας. φησὶν οὖν ὑπὸ Εὐριπίδου γραφέντας ἐπὶ τὸ λέγειν ὁρμῆσαι, καὶ διατρίβοντας ἐν τῇ ἀγορᾷ πολλοὺς κτᾶσθαι τοὺς ἐραστάς. παράλους δὲ σημαίνει τοὺς κωπηλάτας, Πάραλος γὰρ καὶ Σαλαμινία, τριήρεις εἰρη-

A ναρχικαί. κοινῶς δὲ παράλους, τοὺς ἐκ τῶν τριήρων ναύτας. οὐ γὰρ ἴδιόν τι λέγοι ἂν περὶ τῆς παράλου τριήρους νεώς. ἄτιμοι δὲ οὗτοι ἦσαν. Ῥυππαπαί.] ἐπίφθεγμα ναυτικὸν, παρασκευαστικὸν, ἢ παρακελευσματικὸν κωπηλασίας. Τῷ θαλάμακι] τῷ κωπηλατοῦντι ἐν τῷ κάτω μέρει τῆς τριήρους. οἱ δὲ θαλάμακες ὀλίγον ἐλάμβανον μισθὸν, διὰ τὸ κολοβαῖς χρῆσθαι κώπαις παρὰ τὰς ἄλλας τρεῖς τάξεις τῶν ἐρετμῶν, ὅτι μᾶλλον ἐγγύς εἰσι τοῦ ὕδατος. ἦσαν δὲ τρεῖς τάξεις τῶν ἐρετμῶν. καὶ ἡ μὲν κάτω,

B θαλαμῖται. ἡ δὲ μέση, ζυγῖται. ἡ δὲ ἄνω, θρανῖται. θρανίτης οὖν ὁ πρὸς τὴν πρύμναν. ζυγίτης ὁ μέσος. θαλαμίτης ὁ πρὸς πρώραν. καὶ θαλαμία ὀπὴ, δι᾽ ἧς ἐξέρχεται ἡ κώπη. οἷον οὖν παρὰ τῷ συγκαθέδρῳ περδεῖν. Μινθῶσαι.] δυσφράναι. δυσοσμίας ἀναπλῆσαι. μιᾶναι. μίνθη δὲ, τὸ παρ᾽ ἡμῖν ἡδύοσμον. οἱ δὲ τὸν θύμον ἢ κόπρον αἰγῶν.

Νῦν δ᾽ ἀντιλέγει, κοὐκέτ᾽ ἐλαύνει,
Καὶ πλεῖ δευρὶ καὖθις ἐκεῖσε.
ΑΙ. Ποίων δὲ κακῶν οὐκ αἴτιός ἐστ᾽;
Οὐ προαγωγοὺς κατέδειξ᾽ οὗτος;
Καὶ τικτούσας ἐν τοῖς ἱεροῖς,
Καὶ μιγνυμένας τοῖσιν ἀδελφοῖς,
Καὶ φασκούσας οὐ ζῆν τὸ ζῆν,
Κᾆτ᾽ ἐκ τούτων ἡ πόλις ἡμῶν
Ὑπὸ γραμματέων ἀνεμεστώθη,
Καὶ βωμολόχων δημοπιθήκων,
Ἐξαπατώντων τὸν δῆμον ἀεί;
Λαμπάδα δ᾽ οὐδεὶς οἷός τε φέρειν,
Ὑπ᾽ ἀγυμνασίας ἔτι νυνί.

*At iam obloquitur quiuis: nemo*
*Remigat aut nauem huc illuc agit.*
C *Æs. Cuius sceleris non hic reus est?*
*Non lenones introduxit,*
*Et parturientes in fanis*
*Et concubitu fratrum mistas:*
*Et vitam dicentes mortem?*
*Non propterea impleta vrbs nostra*
*Tot scribis, scurris & simiis*
*Plebis, qui decipiunt populum.*
D *At ferre facem nemo hic hominum*
*Scit, præ ruditate, etiamnum.*

Σχόλια. Νῦν δ᾽ ἀντιλέγει.] ἔκθεσις τῆς διπλῆς εἰς δύο περιόδους διῃρημένης ἐκ κώλων ὁμοίων ἀναπαιστικῶν ιγ. ὧν τὰ μὲν πρῶτα δύο κῶλα δίμετρα ὄντα ἀκατάληκτα τῇ διπλῇ συνάπτεται. τῆς δὲ πρώτης περιόδου εἰσὶ κῶλα ια΄. ἀκατάληκτα, πλὴν τοῦ τελευταίου ἐφθημιμεροῦς. ὁμοίως δὲ καὶ τὰ τῆς β ἔχει. τὸ μέντοι παρατέλευτον ἀναπαιστική ἐστι βάσις. ἐπὶ τῷ τέλει τῆς μὲν πρώτης περιόδου παράγραφος. τῆς δὲ β δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος. Καὶ τικτούσας.] ἔγραψε γὰρ τὴν Αὔγην ὠδίνουσαν ἐν ἱερῷ. Τοῖσιν ἀδελφοῖς] ὡς αἱ τοῦ Αἰόλου θυγατέρες. Καὶ φασκούσας οὐ ζῆν] ὅτι παρὰ τὰ ἐκ Φρίξου Εὐριπίδου. τίς δ᾽ οἶδ᾽ εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν. τὸ κατθανεῖν δὲ ζῆν. ἀλλ᾽ ὀλίγων ἐστὶ Φρίξος. ἔστι δὲ, ὡς παρὰ γυναικὸς αὐτὸ λέγει εἰρημένον. ἰδεῖν οὖν χρὴ, μήποτε τὸ αὐτὸ νοοῦν

παρ᾽ Εὐριπίδῃ γυνὴ λέγῃ. καὶ μήποτε τὸ ὑπὸ τῆς τροφοῦ ἐν Ἱππολύτῳ λεγόμενον. ἀλλ᾽ ὅτε τούτου φίλτερον ἄλλο σκότος ἀμπίσχον κρύπτει Νεφέλαις. καὶ τὰ ἑξῆς. Ἀνεμεστώθη.] ἀνεπληρώθη, τῶν γραμματεύειν βουλομένων καὶ μὴ στρατεύεσθαι. ἢ καὶ ἐπὶ κακοπραγμοσύνῃ τοὺς γραμματεῖς διαβάλλει. ὄλεθρος γραμματεὺς συκοφαντῶν. ἄλλως. ἐπεὶ ἀφέντες τὰ γενναῖα πράγματα φορολόγοι γεγένηνται. οἱ δὲ μετιόντες τὸν λόγον, κέρδους ἕνεκα τούτοις εἵποντο. δημοπιθήκους δὲ τοὺς πανούργους περὶ τὸν δῆμον ὡς τὸ ζῶον ὁ πίθηκος. ἢ τοὺς τὸν δῆμον κολακεύοντας καὶ πείθοντας. Λαμπάδα δ᾽ οὐδείς.] ἔδει γὰρ λαμπαδουχεῖν ἐν Ἡφαιστείοις, καὶ Παναθηναίοις. ἐν Ἀθήναις δέ ἐστι γυμνάσιον, ἐν ᾧ ἐλαμπαδηφόρουν οἱ γυμνάζοντες. ὁ τῆς λαμπάδος δὲ ἀγὼν, τρίτον Ἀθήνησιν ἤγετο. Προμήθεια. Ἡφαίστεια. Παναθήναια.

F

Δευτέρας περιόδου κῶλα ι.

ΔΙ. Μὰ Δί᾽ οὐ δῆτ᾽ ὥστ᾽ ἀπεφαυάνθην,
Παναθηναίοισι γελῶν, ὅτε δὴ
Βραδὺς ἄνθρωπός τις ἔθει, κύψας,
Λευκὸς, πίων, ὑπολειπόμενος,
Καὶ δεινὰ ποιῶν. κᾆθ᾽ οἱ κεραμῆς,
Ἐν ταῖσι πύλαις, παίουσ᾽ αὐτοῦ
Γαστέρα, πλευρὰς, λαγόνας, πυγήν.
Ὁ δὲ τυπτόμενος ταῖσι πλατείαις
Ὑποπερδόμενος,
Φυσῶν τὴν λαμπάδ᾽, ἔφευγε.

*BA. Non equidem. nam risu proximis*
*Panathenaicis propè dissilui,*
*Quando quispiam homo tardigrad[illegible],*
*Incuruus, obesus, candénsque,*
*Pone relictus, & ægre affectus.*
G *Dein' figuli in foribus feriebant*
*Ventrem, ilia, nates & latera.*
*Percussus homo, in vicis passim*
*Pedendo, facem*
*Extinxit: & inde aufugit.*

Σχόλια. Ἀπεφαυάνθην.] ἐξηράνθην.

Bisetus. Ἀπεφαυάνθην] αὔω, τὸ ξηραίνω,